AESCHYLI

QUAE SUPERSUNT

TRAGOEDIAE.

VOL. I. SECT. I.

AGAMEMNO.

RECENSUIT, ADNOTATIONEM CRITICAM ET EXEGETICAM ADJECIT

HENRICUS WEIL,
IN FACULTATE LITTERARUM VESONTINA PROFESSOR.

GIESSAE.
IMPENSAS FECIT J. RICKER.
MDCCCLVIII.

AESCHYLI

AGAMEMNO.

RECENSUIT, ADNOTATIONEM CRITICAM ET EXEGETICAM ADJECIT

HENRICUS WEIL,
IN FACULTATE LITTERARUM VESONTINA PROFESSOR.

GIESSAE.
IMPENSAS FECIT J. RICKER.
MDCCCLVIII.

Praefatio.

In hujus editionis praefatione, quas in Aeschyli versibus emendandis rationes secutus sim, breviter significandum esse puto; de ingenio et arte poetae quid sentiam, alio loco exposui *). Et primum quidem illud neminem fugit harum rerum peritum, etiam post Hermanni curas, qui unus omnium optime de Aeschylo meritus studia Aeschylea denuo suscitavit, tantum abesse ut pristino nitori et integritati augusta haec antiquitatis graecae monumenta reddita sint, ut plurimis adhuc exstent locis misere foedata. Neque hoc ita dico, quasi omnia quae insolentius vel audacius a sublimi poeta dicta sunt ad elegantem quandam mediocritatem reducenda putem, aut quasi Euripidei

*) Aperçu sur Eschyle et les origines de la tragédie grecque. Besançon 1849.

oris rotunditatem et rhetorum praecepta, qui post Aeschyli tempora sermonem graecum expoliverunt, Aeschyli emendandi normam habeam. Sed nimium illud acumen atque artificia grammaticorum, quibus nihil ad interpretandum arduum est, procul habenda sunt a poeta Attico, non Alexandrino, qui non lectoribus, sed spectatoribus scripsit. Verissime Dindorfius Aeschyli editores monuit: „veteres Athenienses, quibus fabulas suas summus poeta scripsit, nullos dum habuisse philologos, qui vel spectantibus in theatro praesto essent, vel per ephemerides et commentarios inexplicabilia eadem qua explicabilia facilitate interpretarentur“ *).

Duo sunt in Aeschyli manuscriptis vitiorum genera, alterum leviorum lenique manu corrigendorum, qualia apud omnes scriptores occurrunt, alterum graviorum altiusque insidentium, quae et ipsa nonnunquam probabiliter sanari possunt.

Ad primum genus quae pertinent multa jamdudum a viris doctis emendata sunt, non pauca restant quae littera una aut altera vel addita, vel detracta, vel mutata in integrum restitui possunt; nonnulla ex continua archetypi scriptura orta sunt, ut litteris iis-

*) Aeschyli tragoediae. Recognovit et praefatus est Gu. Dindorfius, Lipsiae 1857, p. LXXII.

dem in alia vocabula distributis ex absurdis vel sensu carentibus versus evadant optimi et pulcherrimi (v. Agam. 885. 1354 sq.).

Propius ad alterum genus accedunt ii loci, in quibus poetae verba interpretamentis aut contaminata aut sede pulsa sunt. Huc pertinent Agamemnonis versus 261. 648. 1229, ubi veram scripturam quum grammatici antiqui servarint, res in dubium vocari nequit. Ad haec exempla certissima respiciens quaedam in hac fabula menda tollere conatus sum; hic ex alia fabula afferam loci pulcherrimi turpem interpolationem cum versuum trajectione conjunctam, ut intelligatur quousque etiam in codice Mediceo corruptelarum labes progressa sit. Eumenidum v. 681 sqq., judicibus in arcem convocatis (ibi enim res agi mihi videtur), hanc orationem habet Minerva :

κλύοιτ' ἂν ἤδη θεσμόν, Ἀττικὸς λεώς,
πρώτας δίκας κρίνοντες αἵματος χυτοῦ.
ἔσται δὲ καὶ τὸ λοιπὸν Αἰγέως στρατῷ
ἀεὶ δ' ἑκάστων τοῦτο βουλευτήριον.

Sic in Mediceo postremus versus scriptus est. In editionibus inde a Cantero legitur :

ἀεὶ δικαστῶν τοῦτο βουλευτήριον.

Quae quantopere abhorreant ab hujus orationis magnificentia, quam aliena sint ab Aeschyli consilio,

qui Areopagum tummaxime a Pericle ejusque amicis ad judicandi munus detrudi aegre ferebat, non est quod pluribus demonstrem. Sed interjectis versibus undeviginti, qui et ipsi nondum satis emendati sunt, in libris sequuntur haec :

κερδῶν ἄθικτον τοῦτο βουλευτήριον,
αἰδοῖον, ὀξύθυμον, εὑδόντων ὕπερ
ἐγρηγορὸς φρούρημα γῆς καθίσταμαι.

Hos versus transponendos esse perspexit Hermannus, sed non suo loco inseruit inter secundum et tertium quos supra posui versus, quum *πρώτας δίκας κρίνοντες* ab *ἔσται δὲ καὶ τὸ λοιπὸν* divelli non possit. Si quid video, res ita se habet. Ad *κερδῶν ἄθικτον* quum interpretationis causa adscriptum esset *ἀδέκαστον*, inde librariorum incuria et stupidi correctoris diligentia ortum est monstrum illud trimetri :

ἀεὶ δ' ἑκάστων τοῦτο βουλευτήριον.

Quae si recte divinavi, jam facile intelligitur omnem locum sic refingendum esse :

κλύοιτ' ἂν ἤδη θεσμὸν, Ἀττικὸς λεὼς,
πρώτας δίκας κρίνοντες αἵματος χυτοῦ.
ἔστω δὲ καὶ τὸ λοιπὸν Αἰγέως στρατῷ
κερδῶν ἄθικτον τοῦτο βουλευτήριον,
αἰδοῖον, ὀξύθυμον, εὑδόντων δ' ὕπερ
ἐγρηγορὸς φρούρημα γῆς καθεστάτω.

Gravissimum et ad emendandum difficillimum corruptelae genus eos locos obtinet, qui non solum librariorum negligentiam, sed etiam correctorum sedulitatem praeposteram ita experti sunt, ut quod in archetypo fuerat leve vitium, litteris quibusdam vel male exaratis, vel trajectis, vel geminatis, vel confusis, nunc sit aut lectio portentosa ac sensu cassa, aut, quod saepe interpretibus fraudi fuit, scriptura misere resarcinata, falsa quadam sententiae specie decipiens. Nam correctores illi ita in poeta nostro versati sunt, ut ex litteris corruptis verba graeca componerent qualiacunque, neque numerorum, neque sententiarum nexus ratione habita. Exemplum hujus rei proponam, ut mihi videtur, luculentum. In Eumenidibus paullo ante finem fabulae haec verba leguntur in manuscriptis et editionibus :

σπονδαὶ δ' ἐς τὸ πᾶν ἔνδαιδες οἴκων
Παλλάδος ἀστοῖς.

Quae nescio an Aeschyli aequales pro graecis non habuerint; si recipiunt interpretationem, ita exponenda videntur : *fore ut semper in Atheniensium domibus libationes fiant facibus collustratae.* Sed hujusmodi sententia quum hic locum non habeat, viri docti libationes intelligunt in Furiarum sacro ab Atheniensibus faciendas. Audio, sed vereor ne hoc

interpretandi genus vim afferat sermoni graeco, neque hanc rem tanti momenti esse arbitror, ut poeta addiderit Jovem haec et Parcam sanxisse,

> Ζεὺς ὁ πανόπτας
> οὕτω Μοῖρά τε συγκατέβα *).

Jam vero quae in stropha verba illis respondere debebant,

> ἵλαοι δὲ καὶ εὐθύφρονες γᾷ
> δεῦρ' ἴτε, σεμναί,

minime respondent. Et haec quidem sana esse, confidenter affirmaverim. Nam neque in sententia quidquam est quod reprehendas, et numeri optimi sunt dactylici ejus generis, ex quo totum hoc canticum constat, quos nollem Hermannus mutasset scribendo *ἵλαοι δὲ καὶ τᾷδ' εὔφρονες γᾷ*. Patet antistropham corruptam ad strophicos numeros, non stropham integram ad illius exemplum corrigendam esse.

---

*) Fortasse *νεῦσέ τε Μοῖρά τε συγκατέβα*. Nam ex Aeschyli sententia Jupiter haec non concessit aliis, sed ipse voluit; accedit quod *συγκατέβα* alterum verbum requirit, et versus antitheticus a dactylo incipit. Sed de his suo loco dicam.

Felici casu contigit ut Aristophanes grammaticus, siquidem is hujus fabulae argumentum conscripsit, Harpocration, Photius, Suidas testentur, in fine tragoediae Furias (Ἐρινύας) placatas Eumenidum nomen accepisse. Quae quoniam in nostra fabula non leguntur, quaedam excidisse viri docti suspicati sunt. Sine causa. Illis enim ipsis verbis corruptis declaratur Noctis filias implacabiles placida numina evadere, addito etiam altero quo Furiae Athenis invocabantur nomine *augustarum* dearum, τῶν σεμνῶν θεῶν. Nam sic restituendus est locus ille, ut et sententiae et accuratissimae numerorum responsioni satisfiat:

σεμναὶ δ' ἔστε καὶ εὐμενίδες θεοὶ
Παλλάδος ἀστοῖς.

Haec Jupiter annuisse, Parca permisisse dicitur, huc tendit omnis fabula, his aptissime terminatur. Pro *ΘΕΟΙ*, ut hoc in transcursu addam, in archetypo fortasse scriptum erat *ΟΚΟΙ*, ex quo corrector fecit οἴκων. Verum talia qui emendare conatur, non in verbis quae librarii commenti sunt haerere debet, ne vanam umbram consectetur, sed, singularum litterarum ratione habita, locum universum respicere et in poetae mentem se insinuare. Alios hujusmodi locos a correctoribus pessumdatos habes in Agame-

mnone v. 109, ubi Aristophanes comicus tragici manum servavit, v. 78, 352 sq., 967, quos mihi videor probabiliter restituisse, Septem 363 sqq., 915, 985, de quibus dixi in Annalibus Philologicis a. 1858, 4, p. 230 sqq.

Hujusmodi vitiis referti sunt non solum libri recentiores, sed omnium Aeschyli codicum optimus et vetustissimus, Mediceus *(M.)*, nunc bibliothecae Laurentianae plutei XXXII, 9, saeculo undecimo ineunte scriptus, qui etiam Sophoclis tragoedias et Apollonii Argonautica continet. Ex hoc codice omnes quotquot exstant Aeschyli tragoediarum libros manuscriptos fluxisse censent harum rerum judices peritissimi Cobetus et Dindorfius; libros pauciores qui Orestiam et Supplices nobis servarunt ex illo derivatos esse, fere omnes nunc critici consentiunt, novissimus Eumenidum editor idoneis argumentis confirmavit. Qui si statuit Medicei archetypum habuisse litterarum formas minusculas, fortasse verum vidit, et nonnulla vitia ex litteris minusculis repetenda esse libenter ei largior; sed prima Medicei manus quae in illo libro vitiose scripta erant religiose descripsisse videtur, atque longe plurimae corruptelae sanari nequeunt, nisi cogitatione redeatur ad codicem etiam vetustiorem scriptura continua et litteris uncialibus exaratum. Sic recte statuisse Hermannum,

Dindorfium, alios viros doctos qui Aeschylo criticam operam navarunt, multae emendationes pulcherrimae certissimaeque luculenter demonstrant.

Itaque, quum reliquorum librorum, ubi dissentiunt a Mediceo, auctoritas sit nulla aut non major quam quae editorum conjecturis tribuitur, in magna tamen Agamemnonis parte a libris deterioribus pendemus. In Mediceo enim desunt hujus tragoediae versus a 290 usque ad 1007 et a 1105 usque ad finem, necnon Choephoron initium, ex quo tempore quaternio ιη' totus et quaternionis ιθ' major pars, exceptis foliis primo et octavo, intercidit. Quae antequam perierunt, ex codice etiam tum integro apographum factum est, unde derivati sunt Venetus *(V.)*, Florentinus *(Fl.)*, Farnesianus *(F.)*. Florentinus, bibliothecae Laurentianae plutei XXI 8, saeculi quarti decimi, cum Veneto, bibliothecae s. Marci 616 sive XCI 5, qui saeculi tertii decimi esse dicitur, ita consentit, ut ex eo descriptus videatur, adhibito tamen utriusque archetypo, quod ex Agamemnonis versu 1611 colligo, quem integriorem exhibet quam codex Venetus. Sed Florentinus Veneto hoc nomine praestat, quod totam fabulam habet, quum in Veneto omnia quae inter v. 45 et v. 1038 interjecta sunt desiderentur. Farnesianus, qui nunc in Museo regio Neapolitano servatur, saeculo quarto decimo

exeunte scriptus, ejusdem familiae, sed multo deterior est, quippe qui Demetrii Triclinii recensionem exhibeat.

Guelferbytanus et Marcianus eosdem quos Mediceus Agamemnonis versus habent, a quo discrepant librariorum erroribus, non correctionibus grammaticorum. Bessarionis codex *(B.)*, nunc bibliothecae Venetae s. Marci 468 sive XCI, 4, qui scriptus esse dicitur saeculo circiter tertio decimo, Agamemnonis continet versus priores 327, qui quum propius absit a Mediceo quam Florentinus (cf. v. 319), a v. 290 usque ad v. 327 praecipuam auctoritatem habet.

In afferenda librorum scriptura, quam ex Hermanni potissimum collationibus deprompsi, hanc mihi imposui legem, ut ejus codicis, ex quo in quaque hujus tragoediae parte omnis ratio critica pendet, id est Medicei et Florentini Venetique aut Bessarionii, lectionem constanter notarem, ubi ab ea discederem, exceptis tamen quibusdam vitiis orthographici generis quae sexcenties recurrunt, qualis est secunda persona passiva in *η* terminata, et *N* paragogicum in fine versuum vel omissum vel additum. Codicum deteriorum scripturam fere non attuli nisi ubi eam secutus sum. Ita factum est, ut obiter percurrenti adnotationem criticam hi libri praestantiores videri possint, illi deteriores.

In adnotatione et perspicuitati et brevitati, quoad fieri poterat, studui, ipse expertus nihil verboso commentario esse molestius. Virorum doctorum conjecturis referendis modum adhibui et delectum, quem lectoribus probatum iri spero. Neque ea explanavi quae explanatione egere non videbantur; neque iterum exposui, quae jam ab aliis satis exposita erant, nisi ubi res dubia paucis verbis absolvi poterat; neque negotium suscepi infinitum omnia refutandi quae de Aeschylo vana sive subabsurde, sive nimis argute prolata sunt. Nam in hoc poeta ita evenit, ut eorum qui ad ejus emendationem interpretationemve accesserunt fere sit nemo qui non aliquid boni attulerit, nemo, vel doctissimus, qui non saepe erraverit. Quamobrem probe intelligo indulgentia mihi quoque opus fore, atque hoc peto a judice aequo, *cum mea compenset vitiis bona, pluribus hisce, si modo plura mihi bona sunt, inclinet.*

Versus lyricos longiores in cola sua divisi, quamquam Boeckhii rationes verissimas esse intelligo. Sed haec quaestio typographica potius quam metrica est, nec de re, sed de verbis disputatur. Hermannus enim nunquam negavit eos quos constituit versus numeri continuitate inter se cohaerere, Boeckhius semper versus a se constitutos ex pluribus ordinibus constare dixit. Itaque, quum versus breviores facilius

legantur ab iis qui rei metricae minus studuerunt, hoc lectorum commoditati et chartae angustiis dandum esse putavi, ut cola potius quam versus sive systemata distinguerem. Neque tamen hac in re semper mihi constiti: versus dactylicos fere omnes exhibui integros, iambicos quosdam, ne membra divisa trochaicorum speciem praeberent. Quae conjungenda mihi videantur, qualesque in quoque carmine numeros esse statuam, conspectus metrorum docet ad calcem uniuscujusque fabulae adjectus.

Numeri versuum quos in margine dextro addidi sunt vulgati editionum Glasguensis, Tauchnitianae, Teubnerianae.

ΑΙΣΧΥΛΟΥ

ΑΓΑΜΕΜΝΩΝ.

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ

ΦΥΛΑΞ.
ΧΟΡΟΣ.
ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.
ΤΑΛΘΥΒΙΟΣ ΚΗΡΥΞ.
ΑΓΑΜΕΜΝΩΝ.
ΚΑΣΑΝΔΡΑ.
ΑΙΓΙΣΘΟΣ.

Personarum indicem non habet M.

ΥΠΟΘΕΣΙΣ.

Ἀγαμέμνων εἰς Ἴλιον ἀπιὼν ὑπέσχετο τῇ[1] *Κλυταιμνήστρᾳ, εἰ πορθήσοι τὸ Ἴλιον, τῆς αὐτῆς ἡμέρας σημανεῖν διὰ τοῦ πυρσοῦ. ὅθεν σκοπὸν ἐκάθισεν ἐπὶ μισθῷ Κλυταιμνήστρα, ἵνα τηροίη τὸν πυρσόν. καὶ ὁ μὲν ἰδὼν ἀπήγγειλεν, αὐτὴ δὲ τῶν πρεσβυτῶν ὄχλον μεταπέμπεται περὶ τοῦ πυρσοῦ ἐροῦσα, ἐξ ὧν καὶ ὁ χορὸς συνίσταται· οἵτινες ἀκούσαντες παιανίζουσι. μετ' οὐ πολὺ δὲ καὶ Ταλθύβιος παραγίνεται καὶ τὰ κατὰ τὸν πλοῦν διηγεῖται. Ἀγαμέμνων δ' ἐπὶ ἀπήνης ἔρχεται. εἵπετο δ' αὐτῷ ἑτέρα ἀπήνη, ἔνθα ἦν τὰ λάφυρα καὶ ἡ Κασάνδρα. αὐτὸς μὲν οὖν προεισέρχεται εἰς τὸν οἶκον σὺν τῇ Κλυταιμνήστρᾳ, Κασάνδρα δὲ προμαντεύεται, πρὶν εἰς τὰ βασίλεια εἰσελθεῖν, τὸν ἑαυτῆς καὶ τοῦ Ἀγαμέμνονος θάνατον καὶ τὴν ἐξ Ὀρέστου μητροκτονίαν, καὶ εἰσπηδᾷ ὡς θανουμένη, ῥίψασα τὰ στέμματα. τοῦτο δὲ τὸ μέρος τοῦ δράματος θαυμάζεται ὡς καὶ ἔκπληξιν ἔχον καὶ οἶκτον ἱκανόν. ἰδίως δὲ Αἰσχύλος τὸν Ἀγαμέμνονα ἐπὶ σκηνῆς ἀναιρεῖσθαι*

---

[1]) *ἀπιὼν τῇ* M. Vox *ὑπέσχετο*, quae in Fl. post *Ἴλιον* legitur, hoc loco excidisse videtur.

ποιεῖ, τὸν δὲ Κασάνδρας σιωπήσας θάνατον νεκρὰν αὐτὴν ὑπέδειξε, πεποίηκέ τε Αἴγισθον καὶ Κλυταιμνήστραν ἑκάτερον διισχυριζόμενον περὶ τῆς ἀναιρέσεως ἑνὶ κεφαλαίῳ, τὴν μὲν τῇ ἀναιρέσει Ἰφιγενείας, τὸν δὲ ταῖς τοῦ πατρὸς Θυέστου[2]) ἐξ Ἀτρέως συμφοραῖς.

Ἐδιδάχθη τὸ δρᾶμα ἐπὶ ἄρχοντος Φιλοκλέους ὀλυμπιάδι ὀγδοηκοστῇ[3]) ἔτει δευτέρῳ. πρῶτος Αἰσχύλος Ἀγαμέμνονι, Χοηφόροις, Εὐμενίσι, Πρωτεῖ σατυρικῷ. ἐχορήγει Ξενοκλῆς Ἀφιδνεύς.

Θεράπων Ἀγαμέμνονος ὁ προλογιζόμενος, οὐχὶ ὁ ὑπὸ Αἰγίσθου ταχθεὶς[4]).

---

[2]) Ὀρέστου M. Corr. Victorius.

[3]) κη M. εἰκοστῇ ὀγδόῃ Fl. Emend. Meursius.

[4]) His verbis, quae in M. post inscriptionem fabulae leguntur, satis obscure significatur, Aeschylum sumpsisse quidem excubitoris personam ex Homeri Odyss. IV, 524 sqq., sed aliter rem adornasse.

ΦΥΛΑΞ.

Θεοὺς μὲν αἰτῶ τῶνδ' ἀπαλλαγὴν πόνων
φρουρᾶς ἐτείας μῆκος, ἣν κοιμώμενος
στέγης Ἀτρειδῶν ἄγκαθεν, κυνὸς δίκην,
ἄστρων κάτοιδα νυκτέρων ὁμήγυριν
5 καὶ τοὺς φέροντας χεῖμα καὶ θέρος βροτοῖς
λαμπροὺς δυνάστας, ἐμπρέποντας αἰθέρι,
δυσμαῖς ὅταν φθίνωσιν, ἀντολάς τε τῶν.

---

2 μῆκος δ' ἦν M. μῆκος, ἣν V. Fl. F. μῆχος, ἣν Valckenaerius. *Per annuae vigiliae longitudinem a diis peto laborum finem*, ad quae respicit v. 20 : νῦν δ' εὐτυχὴς γένοιτ' ἀπαλλαγὴ πόνων. Hanc unice veram hujus loci interpretationem, jam a Klauseno prolatam, nescio cur editores spreverint. Ex Annalibus Philologicis cognovi, nuper Wunderum eam novis argumentis confirmasse.

3 Libri στέγαις. Corr. Schneidewinus. Recte enim schol. Med., Hesychius et grammaticus in Bekk. Anecd. p. 327, 25 statuunt, ἄγκαθεν hoc loco esse κατὰ συγκοπὴν ἀντὶ τοῦ ἀνέκαθεν, τουτέστιν ἄνωθεν. Injuriam faciunt poetae, qui hanc vocem exponunt ἐν ἀγκάλαις, quum nec custos per tam longum tempus, nec canes vigiles, quibus se ille similem esse ait, ulnis innitantur.

7 Libri ἀστέρας, ὅτ' ἂν aut ὅταν, quae ferri non posse intellexerunt Valckenaerius, Porsonus, Dindorfius, alii, qui hunc versum damnarunt. Neque tamen ejiciendus est totus versus, quo aegre caremus, ne in verborum ornatu subsistat oratio, sed perveniat ad rem ipsam, qua anni tempora significantur. Itaque pro

καὶ νῦν φυλάσσω λαμπάδος τὸ σύμβολον,
αὐγὴν πυρὸς φέρουσαν ἐκ Τροίας φάτιν
10 ἁλώσιμόν τε βάξιν· ὧδε γὰρ κρατεῖ
γυναικὸς ἀνδρόβουλον ἐλπίζον κέαρ.
εὖτ' ἂν δέ, νυκτίπλαγκτον ἔνδροσόν τ' ἔχων
εὐνὴν ὀνείροις οὐκ ἐπισκοπουμένην —
ἐμοὶ φόβος γὰρ ἀνθ' ὕπνου παραστατεῖ,
15 τὸ μὴ βεβαίως βλέφαρα συμβαλεῖν ὕπνῳ —
ὅταν δ' ἀείδειν ἢ μινύρεσθαι δοκῶ,
ὕπνου τόδ' ἀντίμολπον ἐντέμνων ἄκος,
κλαίω τότ' οἴκου τοῦδε συμφορὰν στένων
οὐχ ὡς τὰ πρόσθ' ἄριστα διαπονουμένου.
20 νῦν δ' εὐτυχὴς γένοιτ' ἀπαλλαγὴ πόνων
εὐαγγέλου φανέντος ὀρφναίου πυρός.

---

interpretamento ἀστέρας id reposui, quod mihi maxime probabile videbatur: nam ταῖς ἀνατολαῖς opponuntur αἱ δυσμαί, et φθίνειν sic nude de luna optime dicitur, de stellis non item.

12—19 Libri ἐνδροσόν τ' ἔχω. Multa de his versibus disputarunt interpretes, dum omnes sibi persuadent εὖτ' ἂν (v. 12) et ὅταν (v. 16) inter se opponi. Sed patet et hic et illic de eadem re agi. Hoc enim dicit custos, se vel invitum, quoties per insomnias cantare occipiat, ad deploranda domus regiae infortunia delabi. Vides ὅταν perspicuitatis causa additum esse, ut orationis series, longiore interpositione obscurata, iterum ab initio repeteretur (cf. infra v. 169—189), et omnia recte procedere, si, una littera addita, scribatur ἐνδροσόν τ' ἔχων. Mox, v. 14, ἐμοὶ ex Aurati conjectura. Libri ἐμήν, sive ut γὰρ secundo loco poneretur, sive quod librarius ad praecedentis versus initium oculis aberraret.

19 διαπονουμένου suspectum est, sed quae in ejus locum substituatur vox non suppetit.

ὦ χαῖρε λαμπτὴρ νυκτὸς, ἡμερήσιον
φάος πιφαύσκων καὶ χορῶν κατάστασιν
πολλῶν ἐν Ἄργει, τῆσδε συμφορᾶς χάριν.
25 ἰοῦ ἰοῦ.
Ἀγαμέμνονος γυναικὶ σημαίνω τορῶς
εὐνῆς ἐπαντείλασαν ὡς τάχος δόμοις
ὀλολυγμὸν εὐφημοῦντα τῇδε λαμπάδι
ἐπορθιάζειν, εἴπερ Ἰλίου πόλις
30 ἑάλωκεν, ὡς ὁ φρυκτὸς ἀγγέλλων πρέπει·
αὐτός τ' ἔγωγε φροίμιον χορεύσομαι.
τὰ δεσποτῶν γὰρ εὖ πεσόντα θήσομαι
τρὶς ἓξ βαλούσης τῆσδέ μοι φρυκτωρίας.
γένοιτο δ' οὖν μολόντος εὐφιλῆ χέρα
35 ἄνακτος οἴκων τῇδε βαστάσαι χερί.
τὰ δ' ἄλλα σιγῶ· βοῦς ἐπὶ γλώσσῃ μέγας
βέβηκεν· οἶκος δ' αὐτὸς, εἰ φθογγὴν λάβοι,
σαφέστατ' ἂν λέξειεν. ὡς ἑκὼν ἐγὼ
μαθοῦσιν αὐδῶ κοὐ μαθοῦσι λήθομαι.

ΧΟΡΟΣ.

40 δέκατον μὲν ἔτος τόδ' ἐπεὶ Πριάμου
μέγας ἀντίδικος,

---

22 δεῖ διαστήματος ὀλίγου ἐνταῦθα, εἶτα ἀνακραγεῖν, ὡς θεασάμενον τὸν πυρσόν. Schol. Med.

25. 26 Asyndeton indicio est, recte hoc loco legi interjectiones, quas Hermannus ante v. 22 collocabat. — Male in libris et editionibus plerisque σημανῶ, quum M. habeat σημαίνω. Laetitia elatus Clytaemnestram absentem alloquitur servus, quasi eum exaudire posset.

29 ἐπορθριάζειν M. Correctum in V. Fl. F. 30 ἀγγέλων M. Correctum in V. F.

Μενέλαος ἄναξ ἠδ' Ἀγαμέμνων,
διθρόνου Διόθεν καὶ δισκήπτρου
τιμῆς ὀχυρὸν ζεῦγος Ἀτρείδαιν,
45 στόλον Ἀργείων χιλιοναύτην
τῆσδ' ἀπὸ χώρας
ἦραν, στρατιῶτιν ἀρωγὴν,
μέγαν ἐκ θυμοῦ κλάζοντες Ἄρη
τρόπον αἰγυπιῶν,
50 οἵτ' ἐκπατίοις ἄλγεσι παίδων
ὕπατοι λεχέων στροφοδινοῦνται
πτερύγων ἐρετμοῖσιν ἐρεσσόμενοι,
δεμνιοτήρη
πόνον ὀρταλίχων ὀλέσαντες·
55 ὕπατος δ' ἀΐων ἤ τις Ἀπόλλων

---

44 Libri Ἀτρειδᾶν, pro quo scite Dind. Ἀτρείδαιν. Vulgo Ἀτρειδῶν. Mox χιλιοναύταν et ἀρωγαγὴν M.

51 ὕπατοι λεχέων insolenter quidem dictum est, sed sine dubio ab Aeschylo profectum, neque temerariis conjecturis tentandum. Nam ὕπατοι λεχέων ita ponitur pro ὑπὲρ λεχέων, ut simul insit notio superlativi : vulturii supra cubilia sublime volant. In altiore etiam loco — ὕπατος δ'ἀΐων — sedent dii vindices, qui illis opitulantur, sicut Atridas magnos et potentes major etiam Jupiter, ὁ κρείσσων Ζεύς, ad vindicandum scelus hospitii violati Troiam mittit. Dindorfii στρεφεδινοῦνται, forma Homerica, Aeschylum usum esse censent. Certius est versus Homericos, Od. XVI, 216—18, poetae animo obversatos esse.

55 τῶνδε μετοίκων schol. Med. interpretatur ὑπὲρ τῶν μετοικισθέντων νεοσσῶν, cui interpretationi obstat quod τῶνδε non potest referri ad absentes, nec μετοίκων apte de raptis pullis diceretur. Suidas, cum quo consentit schol. Soph. OC. 934, Αἰσχύλος τοὺς οἰωνοὺς τῶν ὑψηλῶν τόπων (μετοίκους) ἀντὶ τοῦ ἐνοίκους.

ἢ Πὰν ἢ Ζεὺς οἰωνόθροον
γόον ὀξυβόαν τῶνδε μετοίκων,
ὑστερόποινον
πέμπει παραβᾶσιν Ἐρινύν.
60 οὕτω δ' Ἀτρέως παῖδας ὁ κρείσσων
ἐπ' Ἀλεξάνδρῳ πέμπει ξένιος
Ζεύς, πολυάνορος ἀμφὶ γυναικὸς
πολλὰ παλαίσματα καὶ γυιοβαρῆ
γόνατος κονίαισιν ἐρειδομένου
65 διακναιομένης τ' ἐν προτελείοις
κάμακος θήσων Δαναοῖσιν
Τρωσί θ' ὁμοίως. ἔστι δ' ὅπῃ νῦν
ἔστι· τελεῖται δ' ἐς τὸ πεπρωμένον·
οὔθ' ὑποκαίων οὔθ' ὑπολείβων
70 οὔτε δακρύων ἀπύρων ἱερῶν

Videntur male referre veteris interpretis sententiam, qui aves aërios, in altis locis agitantes, deorum vicinos et quasi inquilinas coeli vocari intellexerat. Rem perspexit Klausenius.

64 ἐριδομένου M. Corr. in B. Guelf.

69. 70 Libri ὑποκλαίων. Casaubonus ὑποκαίων, quo recepto οὔτε δακρύων servari potest. Ceterum ἄπυρα ἱερά neque ad Iphigeniae immolationem pertinent, quae erat Hermanni aliorumque sententia, neque, quod Schoemanno visum est, ad nescio quod sacrificium ab Atridis neglectum, sed, flagitante sententiarum nexu, cum Schneidewino ad Paridis referenda sunt *innuptas nuptias*, quae etiam infra, v. 706, memorantur. Vide de sacris conjugalibus Eumen. v. 214, et Plat. Legg. VIII, p. 241 D : ἄθυτα δὲ παλλακῶν σπέρματα, quibus opponuntur, quae de legitimis uxoribus subjicit, ταῖς μετὰ θεῶν καὶ ἱερῶν γάμων ἐλθούσαις εἰς τὴν οἰκίαν.

ὀργὰς ἀτενεῖς παραθέλξει.
ἡμεῖς δ' ἀτίτᾳ σαρκὶ παλαιᾷ
τῆς τότ' ἀρωγῆς ὑπολειφθέντες
μίμνομεν ἰσχὺν
75 ἰσόπαιδα νέμοντες ἐπὶ σκήπτροις.
ὅ τε γὰρ νεαρὸς μυελὸς στέρνων
ἐντὸς ἀνᾴσσων
ἰσόπρεσβυς, Ἄρης δ' οὐκ ἐν ἀώροις·
ὅ θ' ὑπέργηρως, φυλλάδος ἤδη

---

71 ἀτῖται M., quod et pro ἀτῖται et pro ἀτίτᾳ accipi potest. Hoc, ut tutius, cum Hermanno praetuli: nam passiva hujus terminationis significatio arctis finibus circumscripta est. Neque, si in Eumen. v. 257 ἀτίτας est is *qui poenas non luit*, ὁ μὴ τίνων, hoc magis passive quam active dictum est; neque in Hesychii glossa ἀτίτην· ἀτιμώρητον, ἄπορον, ἄτιμον, τὸν μὴ ἔχοντα ἀποτῖσαι vocem ἄτιμον verto *inhonoratum*, sed pertinere puto ad ἄπορον et τὸν μὴ ἔχοντα ἀποτῖσαι, quibus verbis designatur debitor aerarii inops, qui propter ἀτισίαν erat ἄτιμος. Vides ἀτίτην esse eum qui non solvit vel poenas vel multam.

76. 77 Libri ὅτε et ἀνάσσων. Corr. illud Auratus, hoc Hermannus.

78 Librorum scriptura Ἄρης δ' οὐκ ἔνι (ἐνὶ B.) χώρᾳ, quod esset *Mars sede non manet*, a correctore concinnata est, quum in archetypo librarii errore obscuratum esset, quod Aeschylum scripsisse puto, οὐκ ἐν ἀώροις. Verba νεαρὸς μυελός etiam ad juventam referri possent, neque satis declarant aetatem immaturam; ἀώροις omnem dubitationem eximit. Quo restituto et hiatus in fine versus tollitur, et cur poeta ὑπέργηρως pro γέρων dixerit intelligitur, et audacior illa translatio, qua laetam et quasi floridam juvenilis corporis speciem φυλλάδα vocavit, aptissime praeparatur.

79 τίθυπεργήρως M. Stanleius et plurimi editores τό θ' ὑπέργηρων, sequente masculino ἀρείων, quod ut fortasse ferri posset,

80 καταχαρφομένης, τρίποδας μὲν ὀδοὺς
στείχει, παιδὸς δ' οὐδὲν ἀρείων
ὄναρ ἡμερόφαντον ἀλαίνει.
σὺ δὲ, Τυνδαρέα
θύγατερ, βασίλεια Κλυταιμνήστρα,
85 τί χρέος; τί νέον; τί δ' ἐπαισθομένη,
τίνος ἀγγελίας
πειθοῖ περίπεμπτα θυοσκεῖς;
πάντων δὲ θεῶν τῶν ἀστυνόμων,
ὑπάτων, χθονίων,
90 τῶν τ' ἀγρονόμων, τῶν τ' ἀγοραίων,
βωμοὶ δώροισι φλέγονται·
ἄλλη δ' ἄλλοθεν οὐρανομήκης
λαμπὰς ἀνίσχει,
φαρμασσομένη χρίματος ἁγνοῦ

---

si codex praeberet, non ultro inferendum erat in versus pulcherrimos. Wellaueri ὁ θ' ὑπέργηρως sine dubitatione recepi, hiatu in versus praecedentis fine sublato.

83 Sic Dindorfius, qui refert M. habere* Τυνδάρέω, supra scripto ου, sed littera ω ex αο facta.

87 θυοσκεῖς Turnebus ex Hesychio restituit. M. θυοσκινεῖς, priore ι ab alia manu addito. Scal. πευθοῖ.

90 Libri τῶν τ' οὐρανίων τῶν τ' ἀγοραίων. Versum ejecerunt Heathius Porsonus aliique. Vulgatam frustra defendit Hermannus : nam dii qui in coelo degunt, non diversi sunt ab iis qui hominum negotiis adsunt. Emendavi, collato Sept. 271 : τοῖς πολλισσούχοις θεοῖς, πεδιονόμοις τε κἀγορᾶς ἐπισκόποις. Οὐρανίων, ad ὑπάτων adscriptum, successit in locum ejus vocis, quae ante ἀγοραίων facile excidere poterat.

91 δώροις M. Corr. in F.

95 μαλακαῖς ἀδόλοισι παρηγορίαις,
πελάνῳ μυχόθεν βασιλείῳ.
τούτων λέξαις ὅ τι καὶ δυνατὸν
καὶ θέμις ἡμῖν,
παιών τε γενοῦ τῆσδε μερίμνης,
100 ἣ νῦν τοτὲ μὲν κακόφρων τελέθει,
τοτὲ δ' ἐκ θυσιῶν ἀγανὴ φαίνουσ'
ἐλπὶς ἀμύνει φροντίδ' ἄπληστον
τὴν θυμοφθόρον λύπης φρένα.

---

97 Sic Hartungus et Dind. Librorum λέξασ' diversis rationibus tueri conabantur Herm. et Schneidew.

98 αἰνεῖν M. Sed verissime Schoemannus αἰνεῖν non esse simpliciter *dicere* contendit, sed semper habere aliquam judicii ac voluntatis adsignificationem. Scripsi ἡμῖν, quum hujusmodi librariorum errores etiam in aliis locis animadverterem. Sic Suppl. 959 pro eo quod M. habet, εὐθυμεῖν ἔστιν εὐτύκους ναίειν δόμους, repone ἔνθ' ὑμιν ἔστιν, sive potius

ἔνθ' ἔστιν ὑμῖν εὐτύκους ναίειν δόμους.

101 ἀγανὰ φαίνεις M. Quod si e φανεῖσ' ortum est, conjici possit προφανεῖσ'. Sed recte videtur Florentini librarius, eumque secutus Triclinius, scripsisse φαίνουσ', quod Hermannus optime interpretatur *lucens*, coll. Eur. El. 1233 : ἀλλ' οἵδε δόμων ὑπὲρ ἀκροτάτων φαίνουσί τινες δαίμονες. Quo in loco ne cum Hartungo scribas βαίνουσι, vetant quae sequuntur, τί ποτ' εἰς φανερὰν ὄψιν βαίνουσι βροτοῖσιν; Butleri conjecturam σαίνουσ', quae multis arrisit, merito damnavit Welckerus, ut ab hoc loco alienam. H. L. Ahrensii ἃς ἀναφαίνεις miror Engero placuisse, quum vocem ἀγανή satis tueatur contrapositum κακόφρων.

102. 3 ἀπλειστον M., corr. in Fl. F. Reliqua sic exhibui, ut corrupte leguntur in M. θυμοβόρον Fl. Hermannus olim τῆς θυμοβόρου φρένα λύπης, novissimis curis φρενολύπης. Welckerus τὴν θυμοβόρον, φρενολύπην. Neque probabiliora sunt quae vel mihi vel aliis in mentem venerunt.

κύριός εἰμι θροεῖν ὅδιον κράτος αἴσιον ἀνδρῶν *στροφή*
105 ἐκλεκτῶν· ἔτι γὰρ θεόθεν καταπνείει πειθὼ 106
μολπᾶν ἀλκᾷ σύμφυτος αἰών·
ὅπως Ἀχαιῶν δίθρονον κράτος, Ἑλλάδος ἥβας
ξύμφρονα ταγὰν, 110

---

105. 6 ἐκτελέων libri et, quod librorum auctoritati nihil addit, scholion infimae aetatis ad Aristoph. Ran. v. 1276. Hoc esset *adultorum*. ἐντελέων, conjectura Aurati ab Hermanno multisque aliis recepta, eo quo volunt sensu, τῶν ἐν τέλει ὄντων, videtur esse pedestris vox serioris aetatis. Scripsi ἐκλεκτῶν, quod et versus antistrophicus commendat et Lucretii *ductores Danaum delecti* (I, 86), qui etiam v. 92. 95. 100 Aeschylum expressit. Mox καταπνέει (una ante ει littera erasa) μολπὰν (prima manus μολπᾶν) ἀλκὰν M. καταπνείει Ald., ἀλκᾷ Herm., μολπᾶν Both., quae recepi, sed aliter interpretor locum difficillimum et varie a viris doctis tractatum. Nam qui Hermannum sequuntur, ita fere vertunt : *adhuc mihi divinitus fiduciam carminum inspirat temporis spatium cum expeditione conjunctum*, fatale illud decennium nondum exactum. Verum, ut αἰών sit *temporis spatium*, de quo dubitari potest, ἀλκά, *robur*, pugnam quidem et belli certamina saepe significat, nunquam belli continuationem, eo sensu quo dicitur *bellum Trojanum, bellum Thebanum*. Itaque verto : *adhuc mihi divinitus suadam*, facundae gratiam linguae, *inspirat carminum robori cognata aetas*. Voce ἀλκᾷ se significat, bellico robore destitutum, vim canendi adhuc retinere. Sed quidquid de hujus loci scriptura statuis, qui fortasse non persanatus est, universam loci sententiam patet eam esse, ut senes dicant se jam gerere non posse res bellicas, dicere posse : κύριός εἰμι θροεῖν. Quae non sine tristitia veterem militem Marathonium scripsisse puto. Apte Hartungus contulit Eur. Herc. fur. 678 : ἔτι τοι γέρων ἀοιδὸς κελαδεῖ Μναμοσύναν.

108 ξύμφρονα τὰν γᾶν M. Corr. in B. Fl. F. Sed ταγή quum primam corripere soleat, Blomf. scr. ταγόν, Herm. τάγαν, quibus praestaret Dindorfii ξύμφρονε ταγώ, si lectio mutanda esset.

πέμπει σὺν δορὶ καὶ χερὶ πράκτορι θούριος
ὄρνις

110 Τευκρίδ' ἐπ' αἶαν,
οἰωνῶν βασιλεὺς βασιλεῦσι νεῶν, ὁ κελαινὸς, ὁ δ'
ἐξόπιν ἀργᾶς, 115
φανέντες ἴκταρ μελάθρων χερὸς ἐκ δοριπάλτου
παμπρέπτοις ἐν ἕδραισιν,
βοσκόμενοι λαγίναν, ἐπὶ κυμάδι φέρματα, γένναν,
115 βλαβέντα λοισθίων δρόμων. 120
αἴλινον αἴλινον εἰπὲ, τὸ δ' εὖ νικάτω.

ἀντ. κεδνὸς δὲ στρατόμαντις ἰδὼν δύο λήμασιν ἴσους

---

109 Veram hujus versus scripturam servavit Aristoph. Ran. 1289, quo in loco etiam v. 104 et 107 hujus fabulae afferuntur. In Aeschyli vetere codice quum vocabulum *χερί* casu excidisset, *καί* a correctore in *δίκας* mutatum est, unde nostri libri habent : *σὺν δορὶ δίκας πράκτορι*.

111 Libri *ὅ τ' ἐξόπιν ἀργίας*. Illud Hart., hoc Blomf. corr.
112 Libri *δορυπάλτου*. Corr. Turnebus. 113 *παμπρέποις* M. Corr. in B. *in sedibus undique conspicuis*.

114 *λαγίναν ἐρικύματα* (*ἐρικύμονα* B. Fl. F. *ἐρικυμάδα* Seidler) *φέρματι γένναν* M., cum quibus scholiastes *βλαβέντα* jungit *κατὰ τὸ νοούμενον*, quasi praecessisset *τὸν λαγωόν*. Sed de matre gravida quum agatur, masculinum per enallagen illatum permirum esset; et *γένναν* non de parente, sed de prole aut, quod verius est, de utraque accipi par est. Itaque Prienius conjecit *λαγίνας ἐρικύματα φέρματα γέννας*, alii alia, nihil quod ferri possit : neque enim *ἐρικύματα* vel potius *ἐρικύμονα* de prole, nec *φέρματα* de matre dici potest. Quae nos dedimus, coll. Hesych. *κυμάδας· ἐγκύους*, sic vertas : *devorantes genus leporinum, cum matre gravida fetus, instante partu intercepta*. Eadem aliter dixit v. 127 *αὐτότοκον* (*σὺν αὐτῷ τῷ τόκῳ* sch. M.) *πρὸ λόχου*.

117—19 *λήμασι διδσοὺς* M. Emendavit Dind. Lobeckius conjecerat *λήμασι πιστούς*. Mox *λογοδαίτας πομποὺς τ' ἀρχάς* M.

Ἀτρείδας μαχίμους ἐδάη λαγοδαίτας πομπᾶς
ἀρχούς· οὕτω δ' εἶπε τεράζων· — 125
120 „χρόνῳ μὲν ἀγρεῖ Πριάμου πόλιν ἅδε κέλευθος,
πάντα δὲ πύργων
κτήνη πρόσθε τὰ δημιοπληθέα Μοῖρα λαπάξει
πρὸς τὸ βίαιον. — 130
οἷον μή τις ἄγα θεόθεν κνεφάσῃ προτυπὲν στό-
μιον μέγα Τροίας·
125 πάροιθεν οἴκων γὰρ ἐπίφθονος Ἄρτεμις ἁγνὰ

λαγοδαίτας πομπούς τ' ἀρχούς Fl. F. Recepi Karstenii emendationem, etiam Dindorfio probatam. Conspecto prodigio Calchas intellexit aquilas esse Atridas, et animis et imperio aquilarum similes.

122 Libri δημιοπληθῆ. Corr. C. O. Müller : cf. ἐναγέα Suppl. 122. Μοῖρ' ἀλαπάξει M. Corr. in F. et ab Elmsleio. Sed sunt alia, quae dubitationem movent. Nam, ut πρόσθε per prolepsin accipi possit, opes Trojanorum populares fama multo minus celebratae sunt quam regiae Priami divitiae. Itaque H. L. Ahrens conjecit πρὸς δὲ τὰ δ., ut populi opibus opponerentur πύργων κτήνη, arcis regiae gaza. Sed πύργων κτήνη obscurius dictum esset, πρὸς δὲ τὰ δ. molestam pedestris scriptoris diligentiam saperet, a lyrica dictione quam maxime alienam. Pauwii et Hermanni προσθετὰ non esset *congesta*, sed *additicia*. Si sana est librorum scriptura, Aeschylus putandus erit, suae aetatis institutis in antiqua illa tempora relatis, Priami thesaurum pro aerario publico habuisse.

124 Libri ἄτα. Emend. Herm. De προτυπέν, *prius percussum*, dubitari potest.

125 Libri στρατωθέν' οἴκῳ. Exercitum graecum vel potius, ut mihi videtur, Atridas vocare magnum Troiae frenum, audax est translatio, sed quae neque ab hoc poeta, neque ab hoc loco abhorreat. Verum, si hoc frenum dicatur στόμιον στρατωθέν i. e. frenum in bellum profectum aut in castris versans (nam et de

πτανοῖσιν κυσὶ πατρὸς 136
αὐτότοκον πρὸ λόχου μογερὰν πτάκα θυομέ-
νοισιν·
στυγεῖ δὲ δεῖπνον αἐτῶν.
αἴλινον αἴλινον εἰπέ, τὸ δ' εὖ νικάτω.

ἐπῳδός 130 τόσον περ εὔφρον ὦ καλὰ 140
δρόσοις ἀέπτοις μαλερῶν τε λεόντων
πάντων τ' ἀγρονόμων φιλομάστοις
θηρῶν ὀβρικάλοισί, σε τερπνὰ
τούτοιν αἰτῶ ξύμβολα κρᾶναι,
135 δεξιὰ μέν, κατάμομφα δὲ φάσματ' ἀθυμῶν. 145

---

sensu et de graecitate hujus verbi dubitatur), hoc tam absurdum est, ut Aeschylum talia scripsisse mihi non persuadeam. Accedit quod *οἴκῳ* non habet quo referatur. Si quid video, *στρατόν*, interpretationis causa ad marginem adscriptum, librariis causa fuit adulterandae lectionis genuinae, quam fuisse puto *πάροιθεν οἴκων*, ut in stropha dixit *ἔκταρ μελάθρων*. Gravissimum videtur Calchanti, aquilas ad aedes regias visas esse, quae res indicio est, ad reges hoc portentum pertinere.

130—135 sic scripti sunt in M., teste Dindorfio : *τόσσων* (*τόσον* Fl. F.) *περ εὔφρων καλὰ δρόσοισιν* (*δρόσοις* F.) *ἀέλπτοις* (*ἀέπτοις* B. Fl. et sic legit schol. Med. qui interpr. *τοῖς ἕπεσθαι τοῖς γονεῦσι μὴ δυναμένοις*) *μαλερῶν ὄντων πάντων τ' ἀγρονόμων φιλομάστους* (ex *φιλόματους* factum) *θηρῶν ὀβρικάλοισι* (fuit primum *ὀβρικάλουσι*) *τερπνὰ τούτων αιτεῖ ξύμβολα κράναι* (*κρᾶναι* Fl. F.) *δεξιὰ μὲν κατάμομφα δὲ φάσματα στρουθῶν*. In primo versu emendando id secutus sum, ut Dianam a Calchante invocari statuerem, quo tum totius orationis forma, tum scholiastae ad v. 137 adnotatio ducunt, et ut tetrapodiam iambicam reponerem, qualem habes stropharum versu penultimo. Potuissem *εὔφρον', ὦ καλά*, scribere, sed vocativus aptior videbatur. V. 131 *δρόσοισι*

ἰήϊον δ' αὖ καλέω Παιᾶνα,
μή τινας ἀντιπνόους Δαναοῖς χρονίας ἐχενῆδας
ἀπλοίας τεύξῃς, 150
σπευδομένα θυσίαν ἑτέραν ἄνομόν τιν', ἄδαιτον,
νεικέων τέκτονα σύμφυτον, οὐ δεισήνορα· μίμνει

λεπτοῖς Well. Sed ἀέπτοις sensu activo non plus difficultatis habet quam ἄμεμπτος ἄκλαυστος ἀστένακτος ἄδερκτος ἀστράτευτος alia. λεόντων restituit Stanl. ex Etym. M. p. 377, 37 ἔρσαι, αἱ ἐν ἔαρι γεννηθεῖσαι (Hom. Od. IX, 222) . . καὶ Αἰσχύλος ἐν Ἀγαμέμνονι τοὺς σκύμνους τῶν λεόντων δρόσους κέκληκε, μεταφράζων τοῦτο. Emendationem perfecit Dind. addita particula τε. V. 133 inserui σε, ut verborum constructioni et numeris succurrerem, virgula, quam sentio melius abesse, lectorum gratia adjecta, et v. 134 scripsi αἰτῶ, Schützium aliosque secutus; tum τούτων, quod apte explicari non potest, mutavi in τούτοιν i. e. Ἀτρείδαιν. V. 135 στρουθῶν, vocem manifesto corruptam, quam et res et numeri respuunt, jam Porsonus damnavit. Passerculi ex Il. II, 311 sqq. huc involarunt, ut Dindorfii verbis utar, confuso prodigio Aulidensi cum hoc aquilarum portento plane diverso, quod Argis visum esse Aeschylus narrat. Jam vero, si superiora recte refinximus, hic latere oportet participium. Scripsi ἀθυμῶν, coll. Thuc. V, 91 οὐκ ἀθυμοῦμεν τὴν τελευτήν. Franzius φάσματ' ἀητῶν.

136 Libri δὲ καλέω. Versus requiritur iambico-dactylicus, quales plures insunt in hoc cantico et in eo quod Aristoph. Ran. l. l. ex fragmentis Aeschyleis composuit. Inserui αὖ, coll. Sept. 526 τὸν δὲ πέμπτον αὖ λέγω.

137 τεύξῃ M. Secutus sum schol. Med. qui ὦ Ἄρτεμι adscripsit. Dindorfius ἐχενηΐδας αὔρας scribendo Aeschylum mihi videtur ex Aeschylo ejecisse, apud quem audacior illa junctura ἀντιπνόους ἀπλοίας offensionem non habet, praesertim aliis epithetis interjectis.

139 Varia conjecerunt viri docti. Metri causa οὐ δεισήνορα μῆτιν Lachm. οὐ δ. φωτός Herm. σύμφυτον αἰνῶν Dind. ἀλάστορα

140 γὰρ φοβερὰ παλίνορτος,
οἰκονόμος δολία, μνάμων μῆνις τεκνόποινος.“ 155
τοιάδε Κάλχας
ξὺν μεγάλοις ἀγαθοῖς ἀπέκλαγξεν
μόρσιμ' ἀπ' ὀρνίθων ὁδίων οἴκοις βασιλείοις·
145 τοῖς δ' ὁμόφωνον
αἴλινον αἴλινον εἰπέ, τὸ δ' εὖ νικάτω.

στρ. α'. Ζεύς, ὅστις ποτ' ἐστίν, εἰ τόδ' αὐ- 160
τῷ φίλον κεκλημένῳ,
τοῦτό νιν προσεννέπω.
150 οὐκ ἔχω προσεικάσαι
πάντ' ἐπισταθμώμενος 164
πλὴν Διός, εἰ τὸ μάταν ἀπὸ φροντίδος ἄχθος
χρὴ βαλεῖν ἐτητύμως.

ἀντ. α'. οὐδ' ὅστις πάροιθεν ἦν μέγας,
155 παμμάχῳ θράσει βρύων,
οὐδὲ λέξεται πρὶν ὤν· 170

νεικέων Rossbach. Sententiae causa ἠδ' ὀλεσήνορα H. L. Ahrens, alii alia. Nihil mutandum videtur, numeri per tripodias dactylicas decurrunt, ut vv. 113. 114.

143 ἀπέκλαιξεν M. Corr. in apographis. Ceterum et portentum ipsum et res quae portenduntur, a poeta satis explicantur; sed quaeri potest, cur Diana Atridis irata sit. Naegelsbach respondet, propter coenam Thyesteam; Schoemann probabilius, propter futuram urbis quam Diana fovebat expugnationem. Verum fatendum est nos nescire quae Aeschylo non placuit exponere.

152 Libri τόδε μάταν. Corr. Pauwius.

156 οὐδὲν λέξαι M. Egregie emendavit H. L. Ahrens. Ceterum, non Typhonem, quae est schol. sententia, sed Uranum

ὃς δ' ἔπειτ' ἔφυ, τρια-
κτῆρος οἴχεται τυχών·
Ζῆνα δέ τις προφρόνως ἐπινίκια κλάζων
160 τεύξεται φρενῶν τὸ πᾶν· 175

τὸν φρονεῖν βροτοὺς ὁδώ- στρ. β'.
σαντα, τὸν πάθει μάθος
θέντα κυρίως ἔχειν.
στάζει δ' ἔν θ' ὕπνῳ πρὸ καρδίας
165 μνησιπήμων πόνος· καὶ παρ' ἄ- 180
κοντας ἦλθε σωφρονεῖν.
δαιμόνων δέ που χάρις βιαίως
σέλμα σεμνὸν ἡμένων.

---

et Saturnum respici, recte statuerunt. Schützius et Herm., coll. Prom. 956 sqq.

160 ὁλοσχερῶς φρόνιμος ἔσται. Schol. Med.

162 Libri τῷ πάθει. Emend. Schütz.

164 Hart. ἕστακεν δ' ὕπνῳ, Karst. θάσσει δ' ἐν θ' ὕπνῳ. Insolenter sane dictum est στάζει πρὸ καρδίας, exspectaveris εἰς καρδίαν. Sed Aeschylo καρδία est mentis acies, in somnis, dum corporis oculi hebent, praecipuo vigore praedita. Eum. 103—5 :

Ὅρα δὲ πληγὰς τάσδε καρδίᾳ σέθεν.
εὕδουσα γὰρ φρὴν ὄμμασιν λαμπρύνεται,
ἐν ἡμέρᾳ δὲ μοῖρα πρόσκοπος βροτῶν (lege κορῶν).

Quem locum dum reputo, etiam hic ἐν ὕπνῳ πρὸ καρδίας mihi dictum esse videtur quasi πρὸ φρενὸς εὑδούσης ὀμμάτων.

169 sqq. τόδ' non ad ea tempora spectat, de quibus supra narravit chorus, sed ad ea quae nunc poetae animo tam vivide obversantur, ut statim in medias res progressus ita incipiat, quasi additurus sit ἔτλα θυτὴρ γενέσθαι θυγατρός. Nam proximis versibus, quos video a nonnullis interpretibus aut temere immutatos,

ἀντ. β'. καὶ τόθ' ἡγεμὼν ὁ πρέ-
170 σβυς νεῶν Ἀχαιϊκῶν, 185
μάντιν οὔτινα ψέγων,
ἐμπαίοις τύχαισι συμπνέων,
εὖτ' ἀπλοίᾳ κεναγγεῖ βαρύ-
νοντ' Ἀχαιϊκὸς λεώς,
175 Χαλκίδος πέραν ἔχων παλιρρό- 190
χθοις ἐν Αὐλίδος τόποις·

στρ. γ'. πνοαὶ δ' ἀπὸ Στρυμόνος μολοῦσαι
κακόσχολοι, νήστιδες, δύσορμοι,
βροτῶν ἄλαι, νεῶν τε καὶ πεισμάτων ἀφειδεῖς,
180 παλιμμήκη χρόνον τιθεῖσαι 195
τρίβῳ κατέξαινον ἄνθος Ἄργεος·

---

aut non satis intellectos esse, causae proferuntur quae ad tantam immanitatem Agamemnonem impulerint: vatibus eum nunquam restitisse, et ingruentibus casibus victum cum rebus duris conspirantes duros induisse animos (ἐμπαίοις τύχαισι συμπνέων, quae infra vv. 201. 2 explicatius dicet). Sed mox, ut intelligi possit narratio, ad rerum initium se revocat (εὖτ' ἀπλοίᾳ ...), et ne infra quidem, ubi post longam interpositionem verbis ἄναξ δ' ὁ πρέσβυς τότ' εἶπε φωνῶν, v. 189, orationem interruptam repetit, statim ad ea pervenit quae v. 169—72 significata erant.

175—6 Libri παλιρρόθοις. Emend. H. L. Ahrens. Bothius et Herm. in stropha scribebant βίαια, ut ultimus versus esset pentapodia iambica. Sed antistropham potius corrigendam esse evincit numerorum concinnitas: tota enim stropha e tetrapodiis et hexapodiis trochaicis constat, et clausulam habet tetrapodicam, quali etiam stropha α', huic simillima, terminatur.

179 Libri ναῶν καί. Corr. Porsonus. 181 Libri Ἀργείων. Schütz. Ἄργεος. Herm. Ἄργους. Cf. Prom. 420 Ἀραβίας τ' ἄρειον

ἐπεὶ δὲ καὶ πικροῦ
χείματος ἄλλο μῆχαρ
βριθύτερον πρόμοισιν — 200
185 μάντις ἔκλαγξεν προφέρων
Ἄρτεμιν, ὥστε χθόνα βάκ-
τροις ἐπικρούσαντας Ἀτρεί-
δας δάκρυ μὴ κατασχεῖν·

ἄναξ δ' ὁ πρέσβυς τότ' εἶπε φωνῶν· — 205 ἀντ. γ'.
190 »βαρεῖα μὲν κὴρ τὸ μὴ πιθέσθαι,
βαρεῖα δ', εἰ τέκνον δαΐξω, δόμων ἄγαλμα,
μιαίνων παρθενοσφάγοισιν
ῥείθροις πατρῴους χέρας βωμοῦ πέλας. — 210
τί τῶνδ' ἄνευ κακῶν;
195 πῶς λιπόναυς γένωμαι
ξυμμαχίας ἁμαρτών;
παυσανέμου γὰρ θυσίας
παρθενίου θ' αἵματος ὀρ- — 215
γᾷ περιόργως ἐπιθυ-
200 μεῖν θέμις. εὖ γὰρ εἴη.«

ἄνθος. Falluntur qui antistropham corrigunt ad numeros manifesto corruptos. 185 Libri ἔκλαγξε. Corr. Pors.

189 Libri τόδ'. Stanl. τότ'. Vide ad 169 adnotata.

190 πειθέσθαι M. 193. ῥεέθροις M. Corr. illud Turn., hoc Triclinius.

195 τί πῶς λιπόναυς τε γένωμαι; M. Vitia ex litterarum repetitione orta sustulit Triclinius.

199 Bambergerus περιόργῳ σφ' ἐπιθυμεῖν, sine necessitate, quum subjectum ξυμμαχίαν, i. e. ξυμμάχους, facile ex praecedentibus suppleatur. εὖ γὰρ εἴη· καλῶς ἀποβαίη. Sch. Med.

στρ. δ'.	ἐπεὶ δ' ἀνάγκας ἔδυ λέπαδνον	
	φρενὸς πνέων δυσσεβῆ τροπαίαν	
	ἄναγνον, ἀνίερον, τόθεν	220
	τὸ παντότολμον φρονεῖν μετέγνω.	
205	βροτοὺς θρασύνει γὰρ αἰσχρόμητις	
	τάλαινα παρακοπὰ πρωτοπήμων.	
	ἔτλα δ' οὖν θυτὴρ γενέ-	
	σθαι θυγατρὸς, γυναικοποί-	225
	νων πολέμων ἀρωγὰν	
210	καὶ προτέλεια ναῶν.	
ἀντ. δ'.	λιτὰς δὲ καὶ κληδόνας πατρῴους	
	παρ' οὐδὲν αἰῶνα παρθένειον	
	ἔθεντο φιλόμαχοι βραβῆς.	230
	φράσεν δ' ἀόζοις πατὴρ μετ' εὐχὰν	
215	δίκαν χιμαίρας ὕπερθε βωμοῦ	
	πέπλοισι περιπετῆ παντὶ θυμῷ	
	προνωπῆ λαβεῖν ἀέρ-	
	δην, στόματός τε καλλιπρῴ-	235

205 Libri βροτοῖς. Corr. Schützius et Herm.

211—213 Sic libri, nisi quod M. παρθένιον, correctum in Fl. F. Vulgo, Pearsono auctore, παρθένειόν τ', ad sententiam qualemcunque efficiendam. Sed in fine versus cum versu sequente non cohaerentis (cf. 222 χέονσα) apostropho venia opus esset, et totum locum reputanti poeta mihi videtur dixisse, principes graecos, interclusis virginis clamoribus, vitam virgineam parvi fecisse. Emendationem fortasse alii invenient.

217. 8 προνωπῆ, a multis non intellectum, recte schol. Med. interpretatur προνενευκυῖαν. Opponitur λαβεῖν ἀέρδην. Sic Eur. Alc. 143 ἤδη προνωπής ἐστι καὶ ψυχορραγεῖ. Apte contulit Blomf. Lucretii *muta metu terram genibus summissa petebat.* Mox στόματος

ρου φυλακὰν κατασχεῖν
220 φθόγγον ἀραῖον οἴκοις

βίᾳ χαλινῶν τ' ἀναύδῳ μένει. — στρ. ε'.
κρόκου βαφὰς δ' ἐς πέδον χέουσα
ἔβαλλ' ἕκαστον θυτήρων ἀπ' ὄμματος βέλει — 240
φιλοίκτῳ, πρέπουσά θ' ὡς ἐν γραφαῖς, προσεννέπειν
225 θέλουσ', ἐπεὶ πολλάκις πατρὸς κατ' ἀνδρῶνας εὐτραπέζους
ἔμελψεν· ἁγνᾷ δ' ἀταύρωτος αὐδᾷ πατρὸς
φίλου τριτόσπονδον εὔ- — 245
ποτμον παιᾶνα φίλως ἐτίμα.

τὰ δ' ἔνθεν οὔτ' εἶδον οὔτ' ἐννέπω· — ἀντ. ε'.
230 τέχναι δὲ Κάλχαντος οὐκ ἄκραντοι.

τε καλλιπρῴρου φυλακάν neque subjecti accusativus est, quod Blomfieldio, neque objecti, quod aliis placuit, sed dictum ut supra πολέμων ἀρωγάν : *ad pulchrum os custodiendum*, στόμα τε καλὸν φυλάττοντας.

222 Quum loqui non posset Iphigenia, velo abjecto, quod potuit, oculis mactatores quasi alloquebatur. Mire abutuntur κροκοβαφεῖ σταγόνι, v. 1065, qui κρόκου βαφάς de sanguine accipi posse putant. Hermanni de his et de proxime sequentibus sententia jam satis ab aliis refutata est.

228 ἀγνὰ et αὐδὰ M. Corr. Schütz.

229. 30 εὔποτμον αἰῶνα M. Elmsleii εὔποτμόν τ' ferri non potest, quum epitheta synonyma conjunctionem respuant : v. supra ἄναγνον ἀνίερον et multos alios Aeschyli locos. Hermanni εὐπότμαν auctoritate caret. Egregie Hartungus παιῶνα, sive potius

Δίκα δὲ τοῖς μὲν παθοῦσιν μαθεῖν ἐπιρρέπει·
τὸ μέλλον δ' ἐπεὶ γένοιτ' ἂν κλύοις· προ-
χαιρέτω· 250
ἴσον δὲ τῷ προστένειν. τορὸν γὰρ ἥξει σύνορ-
θρον αὐγαῖς.
πέλοιτο δ' οὖν τἀπὶ τούτοισιν εὐπραξίαις 255
235 θύειν τόδ' ἄγχιστον Ἀ-
πίας γαίας μονόφρουρον ἕρκος.

ἥκω σεβίζων σόν, Κλυταιμνήστρα, κράτος·

παιᾶνα, merito a Karstenio receptum. παιὰν τριτόσπονδος est Paean post coenam ad tertiam libationem, quae Διὶ Σωτῆρι fiebat, cantatus. παιᾶνα ἐτίμα dictum est ut infra 673 τὸ νυμφότιμον μέλος τίοντας.

232 Sic locum optime constituit Bambergerus, rejecto interpretamento τὸ δὲ προκλύειν, quod in M. ab alia manu adjectum, in plerisque libriset editionibus post τὸ μέλλον legitur. ἐπιγένοιτ' M.

233 συνορθὸν αὐταῖς M. Emend. Well. et Herm. *Venient futura et manifesta erunt cum luce solis orientia*, i. e. quum e futurarum rerum tenebris in lucem rerum praesentium, in luminis oras, exorientur. Cf. 1127.

234. 35 εὐπραξις, ὡς θέλει libri. εὐπραξις, vocabulum male conflatum, graecum non esse, jure videtur Lobeckius censuisse. De exemplis, quibus hoc compositum in Steph. Thes. Did. s. v. εὐθεράπευσις defenditur, dixit Karstenius; alius generis est nomen proprium Εὔπραξις (Keil, inscriptt. Boeot. p. 164) vel potius Εὐπραξίς, cum Εὐτυχίς, Νικασίς componendum. Etiam minus ferri potest εὖ πρᾶξις, quod v. 471 non satis defenditur. Accedit quod Clytaemnestra choro suspectior est, quam ut ejus vota sua faciat: nam τόδ' ἄγχιστον μονόφρουρον ἕρκος ad senes non posse referri, verissime Hermannus contendit. Habes rationes emendationis meae. Cf. infra εὐαγγέλοισιν ἐλπίσιν θυηπολεῖς. Πέλοιτο θύειν dictum est ut v. 34 γένοιτο βαστάσαι.

δίκη γάρ ἐστι φωτὸς ἀρχηγοῦ τίειν
γυναῖκ' ἐρημωθέντος ἄρσενος θρόνου. 260
240 σὺ δ' εἴ τι κεδνὸν εἴτε μὴ πεπυσμένη
εὐαγγέλοισιν ἐλπίσιν θυηπολεῖς,
κλύοιμ' ἂν εὔφρων· οὐδὲ σιγώσῃ φθόνος.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

εὐάγγελος μὲν, ὥσπερ ἡ παροιμία,
ἕως γένοιτο μητρὸς εὐφρόνης πάρα. 265
245 πεύσει δὲ χάρμα μεῖζον ἐλπίδος κλύειν·
Πριάμου γὰρ ᾑρήκασιν Ἀργεῖοι πόλιν.

ΧΟΡΟΣ.

πῶς φῄς; πέφευγε τοὔπος ἐξ ἀπιστίας.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

Τροίαν Ἀχαιῶν οὖσαν· ἦ τορῶς λέγω;

ΧΟΡΟΣ.

χαρά μ' ὑφέρπει δάκρυον ἐκκαλουμένη. 270

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

250 εὖ γὰρ φρονοῦντος ὄμμα σοῦ κατηγορεῖ.

ΧΟΡΟΣ.

τί γὰρ τὸ πιστόν ἐστι τῶνδέ σοι τέκμαρ;

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ἔστιν· τί δ' οὐχί; μὴ δολώσαντος θεοῦ.

---

240 σὺ δ' εἴτε, ultima littera e correctione, M. Emend. Auratus. Mox ἐλπίσι et σιγώσῃ M.

251 Schütz. et Herm. τί γάρ; ut responsum cum interroga-

ΧΟΡΟΣ.

πότερα δ' ὀνείρων φάσματ' εὐπιθῆ σέβεις;

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

οὐ δόξαν ἂν λάβοιμι βριζούσης φρενός. 275

ΧΟΡΟΣ.

255 ἀλλ' ἦ σ' ἐπίανέν τις ἄπτερος φάτις;

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

παιδὸς νέας ὣς κάρτ' ἐμωμήσω φρένας.

ΧΟΡΟΣ.

ποίου χρόνου δὲ καὶ πεπόρθηται πόλις;

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

τῆς νῦν τεκούσης φῶς τόδ' εὐφρόνης λέγω.

ΧΟΡΟΣ.

καὶ τίς τόδ' ἐξίκοιτ' ἂν ἀγγέλων τάχος; 280

---

tione ad amussim congrueret. Sed vulgata interpunctio sermonem praebet simpliciorem et vividiorem. 253 Libri εὐπειθῆ. Corr. Blomf.

255 ἄπτερος, quod Hesych. ex Agamemnone affert, sed perperam προσηνὴς ἢ ταχὺς interpretatur, egregie exponit Hermannus: »Rumor immaturus, cui nondum fides habenda, comparatione ab avibus petita, quibus nondum ad volatum pennis firmatae sunt alae«. Falluntur qui hoc dictum esse putant pro ἄνευ πτερῶν ὅμως ποτωμένη, ad ἄπτερα ποτήματα, Eum. 250, et alata somnia, Ag. 402, provocantes: tum enim verbum addendum erat, quod volandi sensum haberet.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

260 Ἥφαιστος Ἴδης λαμπρὸν ἐκπέμπων σέλας.
φρυκτὸς δὲ φρυκτὸν δεῦρ' ἀπ' ἀγγάρου πυρὸς
ἔπεμπεν· Ἴδη μὲν πρὸς Ἑρμαῖον λέπας
Λήμνου· μέγαν δὲ πανὸν ἐκ νήσου τρίτον
Ἀθῷον αἶπος Ζηνὸς ἐξεδέξατο. 285
* * * * * *
265 ὑπερτελής τε, πόντον ὥστε νωτίσαι,
ἰσχὺς πορευτοῦ λαμπάδος πρὸς ἡδονὴν
πεύκη τὸ χρυσοφεγγές, ὥς τις ἥλιος,
σέλας παραγγείλασα Μακίστου σκοπῷ.

---

261 Libri ἀπαγγέλου aut ἀπ' ἀγγέλου. Veram lectionem servarunt Etym. M. p. 7, 16 = Bekk. Anecd. p. 212, 5; ib. p. 325, 13 = Suid. ἄγγαροι; Eustath. p. 1854, 26. Persarum ἄγγαροι noti sunt ex Herodoto, VIII, 95. Stationes sunt Ida, mons Hermaeus in Lemno insula (Soph. Phil. 1459), Athos, mons Messapius in Boeotia in Anthedoniorum finibus (Strab. IX, p. 405. Serv. ad Aen. VIII, 9), Cithaeron (Gorgopis, v. 281, Hesych. s. v., Etym. M. p. 384, 32, non est sinus maris Corinthiaci, sed lacus in finibus Megarensium et Corinthiorum. Cf. E. Curtius, Mus. Rhen. nov. IV, 200), mons Aegiplanctus in Megaride (schol.), Arachnaeum prope Argos (Paus. II, 25, 10).

263 Libri φανόν. Corr. Porsonus ex Ath. XV, 700 E. et grammaticorum praeceptis, qui tragicis formam πανός tribuunt.

265—68 Sic M., nisi quod ὑπερτελῆστε et σκοπάς habet, illud ab Asulano, hoc ab Hermanno corr. Vulgo σκοπαῖς, sed montem somno victum ne Aeschylus quidem dixit. Reliqua quomodo corrigenda sint, non liquet. Mire Herm. πρὸς ἡδονὴν πεύκης, alii alias conjecturas protulerunt, inter quas eminet Bambergeri σέλας παρηγγάρευσε, quae tamen et ipsa orationem impeditam relinquit neque congruit cum πορευτοῦ λαμπάδος, quod male inter-

ὁ δ' οὔτι μέλλων οὐδ' ἀφρασμόνως ὕπνῳ   290
270 νικώμενος παρῆκεν ἀγγέλου μέρος·
ἑκὰς δὲ φρυκτοῦ φῶς ἐπ' Εὐρίπου ῥοὰς
Μεσσαπίου φύλαξι σημαίνει μολόν.
οἱ δ' ἀντέλαμψαν καὶ παρήγγειλαν πρόσω
γραίας ἐρείκης θωμὸν ἅψαντες πυρί.   295
275 σθένουσα λαμπὰς δ' οὐδέπω μαυρουμένη,
ὑπερθοροῦσα πεδίον Ἀσωποῦ, δίκην
φαιδρᾶς σελήνης, πρὸς Κιθαιρῶνος λέπας
ἤγειρεν ἄλλην ἐκδοχὴν πομποῦ πυρός.
φάος δὲ τηλέπομπον οὐκ ἠναίνετο   300
280 φρουρὰ πλέον καίουσα τῶν εἰρημένων·
λίμνην δ' ὑπὲρ Γοργῶπιν ἔσκηψεν φάος·
ὄρος τ' ἐπ' Αἰγίπλαγκτον ἐξικνούμενον

---

pretantur *flammae migrantis*, quum sit *facis transmissae*, λαμπάδος παραδιδομένης, ad λαμπαδηδρομίαν poeta respiciente non solum in fine narrationis, sed etiam hoc loco et infra verbis λαμπὰς οὐδέπω μαυρουμένη. Desideratur verbum conjungendum cum πρὸς ἡδονήν (quas voces qui mutant magnopere falluntur). Suspicor in πεύκη τὸ latere ἐπέτετο. Vocabulum πεύκη fortasse in lacuna locum habuit, quam ante v. 265 recte statuerunt Thierschius et Schneidewinus. Mihi videntur duo versus excidisse, quorum alterum fuisse conjicio :

πεύκη προσαιθρίζουσα πόμπιμον φλόγα.

Fragmentum προσαιθρίζουσα πόμπιμον φλόγα, ab Hesychio sine auctoris nomine laudatum, primus Dindorfius intellexit ad hunc locum pertinere, sed cupidius retulit ad v. 280, ubi πόμπιμον φλόγα post φάος τηλέπομπον abundaret, ejectis verbis πλέον καίουσα τῶν εἰρημένων, quae interpolatori deberi mihi non persuadeo.

276 παιδίον ὠπου M. Corr. in Fl. F.

ὤτρυνε μεῖον μὴ χαρίζεσθαι πυρός.
πέμπουσι δ' ἀνδαίοντες ἀφθόνῳ μένει 305
285 φλογὸς μέγαν πώγωνα, καὶ Σαρωνικοῦ
πορθμοῦ κάτοπτον πρῶν' ὑπερβάλλειν πρόσω
φλέγουσαν· ἦ τ' ἔσκηψεν, ἔς τ' ἀφίκετο
Ἀραχναῖον αἶπος, ἀστυγείτονας σκοπάς·
κἄπειτ' Ἀτρειδῶν ἐς τόδε σκήπτει στέγος 310
290 φάος τόδ' οὐκ ἄπαππον Ἰδαίου πυρός.
τοιοίδε τοί μοι λαμπαδηφόρων νόμοι,
ἄλλος παρ' ἄλλου διαδοχαῖς πληρούμενοι·
